*52. (50) Τηλεβόλον ῥυτῆρα, Λυκάονος ἀγλαὸν υἱόν,
ἐκ Ζελέας κατέχει Π ά ν δ α ρ ο ν ἥδε κόνις.

*53. (58) Α ἰ ν ε ί α ν, Κύπριδός ⟨τε⟩ καὶ Ἀγχίσου φίλον υἱόν,
ἐνθάδε μοῖρα θεῶν ἤγαγεν εἰς Ἀίδην.

*54. (57) Ἑρμ⟨εία⟩, στερεᾶς πέτρης τέκος, ἔννεπε πᾶσιν
Παφλαγόνος μοῖραν τοῦδε Π υ λ α ι μ έ ν ε ο ς.

55. (51) Πατρὶς μὲν κρύπτει με, Δ ό λ ω ν', Εὐμήδεος υἱόν·
πᾶσιν ἀπαγγέλλω τοῖς παριοῦσι μαθεῖν.

56. (52) Ὕπνωι καὶ καμάτωι δεδμημένον ἐνθάδε Ῥ ῆ σ ο ν
Τρῶες δὴ θάψαν Τευκρίδος αἰγιαλῶι.

---

ἐπιγράμματα, ἐπὶ μὲν Διώρου . . ., ἐπὶ δὲ Πείρωος καὶ Ἀκάμαντος ὑπ' Αἴαντος ὕστερον ἀνῃρημένων τόδε· [1. 2] [2]ap. Iriart. 112 **52** Tzetz.[1] Homer. p. 51 Schir. (Πάνδ.) ἀνῃρέθη δὲ ὑπὸ Διομήδους καὶ ἐτάφη ἐν Τροίαι. ἐπιγέγραπται δὲ αὐτῶι ἐπίγραμμα τόδε· [2]ap. Iriart. 111 [3]ibid. 261 **53** Tzetz.[1] Homer. p. 71 Jac. (Harl.) [2]ap. Iriart. 111 **54** Tzetz.[1] Homer. p. 52 Schir. (Πυλ.) ἀνῃρέθη δὲ ὑπὸ Μενελάου καὶ ἐτάφη ἐν Τροίαι. φέρεται δὲ καὶ ἐπ' αὐτῶι ἐπίγραμμα τόδε· [1. 2] [2]ap. Iriart. 111 [3]ibid. 261 **55. 56** Tzetz. Homer. p. 65 Schir. ἐπιγέγραπται δὲ ἐπ' αὐτῶι τόδε· [55] . . ., ἐπίγραμμα δὲ τούτου· [56] **56** Tzetz.[1] l. c. ἐπίγραμμα δὲ τούτου·

---

Θρήικας ἦγ' Ἀκάμας καὶ Πείροος ἥρως (844. 845) **1** ad πελτ. cf. 30, 2 Thuc. 2, 29, 5 Xenoph. mem. 3, 9, 2 RE XIX 406 Πείρως Tzetz.[2] cf. Roscher Myth. Lex. III 1791 RE XIX 140 **52** ~ Β 824 ss οἳ δὲ Ζέλειαν ἔναιον . . ., τῶν . . . ἦρχε Λυκάονος ἀγλαὸς υἱὸς Πάνδαρος (824—827) cf. Roscher Myth. Lex. III 1504 s et Ε 290 ss Steph. Byz. s. Ζέλεια **1** τηλεβόλον Tzetz.[3] τηλεβόλου rel. Pind. Pyth. 3, 49 χερμάδι τηλεβόλωι ῥυτ. ρ 187. 223 A. P. 5, 217, 5 **2** Ζελείας Tzetz.[2, 3] cum Hom. **53** ~ Β 819 s Δαρδανίων . . . ἦρχεν ἐὺς πάις Ἀγχίσαο Αἰνείας, τὸν ὑπ' Ἀγχίσηι τέκε δῖ' Ἀφροδίτη (819—823) **1** τε add. Schnw. cf. Ε 247 s **54** ~ Β 851 Παφλαγόνων δ' ἡγεῖτο Πυλαιμένεος λάσιον κῆρ (851—854) **1** ἑρμῆ παῖ (καὶ Tzetz.[3]) 𝔈 em. B. Ἑρμέω παῖ ci. Schnw. πέτρας uolg. **2** cf. Ε 576 ss Roscher Myth. Lex. III 3324 **55** **1** πατρὶς ἐμὴ ci. Stadtm. BphW. 1893 p. 7 Κ 314 ἦν δέ τις ἐν Τρώεσσι Δόλων Εὐμήδεος υἱός cf. 412 426. 454 ss RE V 1287 s **56** cf. Roscher Myth. Lex. IV 102 s **1** Ζ 2 ὕπνωι καὶ καμάτωι ἀρημένος Ξ 318 αἴθρωι καὶ καμάτωι δεδμημένον. cf. Κ 474. 483 ss **2** δὲ θ. Tzetz.[1, 2] Schir. θάψαντο Lask. Tzetz.[2]